# Petrón

Testimonia DK 16 A

A 1 /1 = Plútarchos, De defectu oraculorum 22; p. 422b

τρεῖς καὶ ὀγδοήκοντα καὶ ἑκατὸν εἶναι [κόσμους] συντεταγμένους κατὰ σχῆμα τριγωνοειδές, οὗ πλευρὰν ἑκάστην ἑξήκοντα κόσμους ἔχειν. τριῶν δὲ τῶν λοιπῶν ἕκαστον ἱδρῦσθαι κατὰ γωνίαν, ἅπτεσθαι δὲ τοὺς ἐφεξῆς ἀλλήλων ἀτρέμα περιιόντας ὥσπερ ἐν χορείαι.

A 1 /2 = Plútarchos, De defectu oraculorum 23; p. 422d

ἐλέγχει δ᾽ αὐτὸν ὁ τῶν κόσμων ἀριθμὸς οὐκ ὢν Αἰγύπτιος οὐδὲ ᾽Ινδὸς ἀλλὰ Δωριεὺς ἀπὸ Σικελίας, ἀνδρὸς ῾Ιμεραίου τοὔνομα Πέτρωνος· αὐτοῦ μὲν ἐκείνου βιβλίδιον οὐκ ἀνέγνων οὐδὲ οἶδα διασωιζόμενον, ῞Ιππυς δὲ ὁ ῾Ρηγῖνος, οὗ μέμνηται Φανίας ὁ ᾽Ερέσιος (fr. 22; FHG II,300), ἱστορεῖ δόξαν εἶναι ταύτην Πέτρωνος καὶ λόγον, ὡς ἑκατὸν καὶ ὀγδοήκοντα καὶ τρεῖς κόσμους ὄντας, ἁπτομένους δ᾽ ἀλλήλων κατὰ στοιχεῖον, ὅ τι δὲ τοῦτ᾽ ἔστι τὸ ᾽κατὰ στοιχεῖον ἅπτεσθαι᾽, μὴ προσδιασαφῶν μηδ᾽ ἄλλην τινὰ πιθανότητα προσάπτων.